*ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ*

*«Πρὸς τον Ὁσιώτατον Πατέρα ἡμῶν ΙΩΣΗΦ, πονηθεῖσα παρὰ τοῦ ἐκ τῆς Ἱερᾶς Συνοδείας αὐτοῦ, Μοναχοῦ Ἰωσήφ, εὐλαβείας καὶ ἀγάπης πολλῆς χάριν, οὐ μὴν δὲ καὶ εὐγνωμοσύνης ἀληθῶν μαθητῶν πρὸς τὸν πνευματικὸν αὐτῶν Πατέρα καὶ Διδάσκαλον.*

*Περιγράφεται δὲ ἐν αὐτῇ, κατὰ τὸ δυνατόν, ἡ ἀληθὴς πνευματικὴ καὶ φιλόθεος ζωὴ καὶ πολιτεία τοῦ ἀειμνήστου ἡμῶν Πατρός, ἄνευ ὑπερβολῆς ἢ φαντασίας τινός, ἀλλὰ κατὰ ἀλήθειαν ὡς εἴδομεν καὶ ἠκούσαμεν σὺν αὐτῷ συζῶντες καὶ διάγοντες ἕως τῶν δυσμῶν τοῦ βίου αὐτοῦ».*

## ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

Τῇ ις΄ τοῦ Αὐγούστου ἐπιτελοῦμεν τὴν μνήμην τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ἡσυχαστοῦ, μεταστάντος πρὸς Κύριον τῇ ιε΄ τοῦ παρόντος, μετατιθεμένης τῆς ἀκολουθίας αὐτοῦ διὰ τὸ αἰδέσιμον τῆς Ἑορτῆς τῆς Θεοτόκου.

**Καὶ εἰ μὲν τύχει ἡ ις΄ ἐν ἡμέρᾳ Κυριακῇ ποιοῦμεν οὕτως:**

Ἐν τῷ Ἑσπερινῷ μετὰ τὴν Στιχολογίαν τοῦ Α΄ Καθίσματος τοῦ Ψαλτηρίου, εἰς τὸ «Κύριε ἐκέκραξα» Ἱστῶμεν στίχους ι΄ λέγοντες δ΄ Ἀναστάσιμα· εἶτα β΄ τῆς Κοιμήσεως καὶ δ΄ τοῦ Ὁσίου ὡς φαίνονται κατωτέρω· Δόξα, τοῦ Ὁσίου. Καὶ νῦν, τὸ Δογματικὸν τοῦ Ἦχου. Τὰ ἀναγνώσματα καὶ τὸ προκείμενον τῆς ἡμέρας. Εἰς τὰ ἀπόστιχα ἓν Ἀναστάσιμον καὶ εἶτα τὰ γ΄ τοῦ Ὁσίου. Δόξα, τοῦ Ὁσίου. Καὶ νῦν, τῆς Ἑορτῆς· Ἦχος δ΄ «Ὅτε ἐξεδήμησας...» (ἐκ τῆς κυρίας ἡμέρας). Ἀπολυτίκιον Ἀναστάσιμον· Δόξα, τοῦ Ὁσίου· Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὸ Μεσονυκτικὸν μετὰ τὸν Τριαδικὸν Κανόνα, ἡ Λιτὴ ὡς φαίνεται κατωτέρω, μεθ’ ἣν ἡ Ὑπακοὴ τοῦ Ἦχου. Εἰς τὸν Ὄρθρον τὰ Ἀπολυτίκια ὡς ἄνω, δευτερουμένου τοῦ Ἀναστασίμου. Εἰς τὴν Α΄ Στιχολογίαν πάντα τὰ Ἀναστάσιμα Καθίσματα. Εἰς τὴν Β΄ Στιχολογίαν τὰ τοῦ Ὁσίου, μεθ’ ἣν ὁ Πολυέλαιος καὶ Ἐκλογὴ Ὁσιακή, εὐθὺς δὲ τὰ Εὐλογητάρια. Εἶτα ἡ Ὑπακοὴ τοῦ Ἦχου καὶ τὰ Καθίσματα τοῦ Ὁσίου τὰ τῆς Α΄ Στιχολογίας καὶ τὰ μετὰ τὸν Πολυέλαιον. Ἐν συνεχείᾳ οἱ Ἀναβαθμοὶ καὶ τὰ λοιπὰ τῆς Κυριακῆς. Οἱ Κανόνες: ὁ Ἀναστάσιμος εἰς δ΄, ὁ πρῶτος τῆς Ἑορτῆς εἰς δ΄ (ἄνευ τῶν εἱρμῶν) καὶ τοῦ Ὁσίου ὁ δεύτερος εἰς ς΄. Καταβασίαι «Πεποικιλμένη τῇ θείᾳ δόξῃ...». Ἀπὸ γ΄ ᾠδῆς Κοντάκιον καὶ Οἶκος Ἀναστάσιμα καὶ Καθίσματα τοῦ Ὁσίου. Ἀφ’ ς΄ ᾠδῆς Κοντάκιον καὶ Οἶκος τοῦ Ὁσίου. Ἐξαποστειλάριον τὸ Ἑωθινόν, τοῦ Ὁσίου καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους δ΄ Ἀναστάσιμα καὶ δ΄ τοῦ Ὁσίου. Δόξα, τὸ τοῦ Ὁσίου· Καὶ νῦν, «Ὑπερευλογημένη». Τὸ Ἑωθινὸν λέγεται εἰς τὴν Πρώτην Ὥραν.

Εἰς τὴν Θ. Λειτουργίαν, Μακαρισμοὶ: δ΄ τοῦ Ἦχου, δ΄ τῆς Ἑορτῆς ἐκ τῆς α΄ ᾠδῆς καὶ δ΄ τοῦ Ὁσίου ἐκ τῆς ς΄ ᾠδῆς τοῦ α΄ Κανόνος. Ἀποστολευαγγέλιον τῆς ἡμέρας καὶ τοῦ Ὁσίου· Κοινωνικὸν «Αἰνεῖτε τὸν Κύριον...» καὶ «Εἰς μνημόσυνον αἰώνιον...».

**Εἰ δὲ τύχει ἡ ις΄ ἐν πάσῃ ἀλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς:**

Ψάλλομεν τὴν Ἀκολουθίαν ὡς φαίνεται ἐφεξῆς ἐν τῇ φυλλάδι, ποιοῦντες τοὺς Κανόνας τὸν πρῶτον τῆς Ἑορτῆς εἰς ς΄ καὶ τοῦ Ὁσίου τοὺς δύο ἀνὰ δ΄.

ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΙΩΣΗΦ ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

*Ψαλλομένη τῇ ις΄ τοῦ μηνὸς Αὐγούστου.*

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**
**Εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια.**

**Πρῶτον τῆς Ἑορτῆς.**
**Ἦχος α΄. Αὐτόμελον.**

Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς οὐρανόν, ὁ τάφος γίνεται. Εὐφραίνου Γεθσημανῆ, τῆς Θεοτόκου τὸ Ἅγιον τέμενος. Βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος. **(δὶς)**

**Ὅμοια.**

Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή! τοῦ Ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς οὐρανόν, μετέστης σήμερον. Ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ Μητρί, τοῦ Βασιλέως πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος.

Τὴν σὴν δοξάζουσι Κοίμησιν, Ἐξουσίαι Θρόνοι, Ἀρχαὶ Κυριότητες, Δυνάμεις καὶ Χερουβίμ, καὶ τὰ φρικτὰ Σεραφίμ. Ἀγάλλονται γηγενεῖς, ἐπὶ τῇ θείᾳ σου δόξῃ κοσμούμενοι. Προσπίπτουσι βασιλεῖς, σὺν Ἀρχαγγέλοις Ἀγγέλοις καὶ μέλπουσι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

## Τοῦ Ὁσίου τὰ ἀκόλουθα δ΄. Ὅμοια.

Ὢ τοῦ παραδόξου θαύματος! ἐν καιροῖς ἐσχάτοις, ὡς ἀστὴρ ἀνέτειλας, αὐγάζων τῶν ἡμερῶν, τὴν αὐχμηρότητα, διδάσκων ὅτι Χριστός, εἰς τοὺς αἰῶνας καὶ νῦν ὁ αὐτός ἐστιν, ἐγείρεις τοὺς ἀμελεῖς, τῇ φιλοπόνῳ σπουδῇ σου προσέχοντας. Δόξα μοναστῶν ἐδείχθης Ἰωσὴφ Πατὴρ ἡμῶν, καὶ χοροῖς τῶν δικαίων, συναγάλλῃ εὐφραινόμενος.

Ὢ τοῦ φιλοθέου πόθου σου, Ἰωσὴφ τρισμάκαρ, καὶ φιλοπονίας σου, ἀγάπης πρὸς τὸν Θεόν, καὶ τὸν πλησίον σου, πτωχείας πνευματικῆς! Τῆς κατανύξεως ῥεῖθρα προχέων γάρ, διήνυσας τὴν ζωήν, ἐν ἡσυχίᾳ πολλῇ ἀγνοούμενος· καὶ νῦν τῶν πραέων τόποις ἐπαναπαυόμενος, τῶν πολλῶν σου ἀγώνων, ἀπολαύεις τὴν ἀντίδοσιν.

Ὢ τῆς συμπαθοῦς προνοίας σου, Ἰησοῦ Σωτήρ μου! ὅτι οὐ κατέλιπες, τῷ σκότει τῶν νῦν καιρῶν, τὴν κληρουχίαν σου· ἀλλ᾽ ἤγειρας ὡς τὸ πρίν, εἰλικρινῶς τοὺς σοὺς δούλους τιμῶντάς Σε, εὐγνώμονας καὶ πιστούς, ἀκολουθοῦντας τῷ θείῳ θελήματι, καὶ διὰ τὴν σὴν ἀγάπην, πάντα ὑπομείναντας, καὶ ἠξίωσας τούτους, τῆς ἀφθάρτου βασιλείας Σου.

Ὕμνοις ἐπαινῶ τοὺς πόνους σου, καὶ πολλὴν σπουδήν σου, Πάτερ ἱλαρώτατε, τὸν ζῆλόν σου πρὸς Θεόν, καὶ αὐταπάρνησιν, τὴν ἄγρυπνον προσευχήν, δι᾽ ἧς ἐχθρῶν τὰς ἐνέδρας ἀπέφευγες, τὰ σκώμματα τῶν τὴν σήν, ἀπαρεσκόντων ζωὴν τὴν θεόφρονα. Ἀλλὰ τῆς σῆς προθυμίας, ὁ σκοπὸς πεπλήρωται, καὶ εἰσῆλθες ἀξίως ἐν χαρᾷ τῇ τοῦ Κυρίου σου.

## Δόξα. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, ἐν πάσῃ σπουδῇ, τοῦ Κυρίου σὲ καλέσαντος, ἠκολούθησας, τῆς φωνῆς γὰρ αὐτοῦ ἀκούσας, οὐ προσέκοψας τοῦ βίου ταῖς προφάσεσιν, ἀλλὰ πάντα νουνεχῶς οἰκονομήσας, τὸν Σταυρὸν ἦρας ἐπ᾽ ὤμων σου, καὶ οὐδόλως τοῖς ὄπισθεν ἐστράφης· περιουσίᾳ δὲ Χάριτος θερμανθεὶς τὴν καρδίαν, φιλοπόνως τὸν βίον διήνυσας, διὸ πολλῶν ἀντιλήψεων ἀξιωθεὶς παρὰ Κυρίου, διετέλεις ἀείποτε πενθῶν καὶ ἰδιάζων. Ἀλλὰ Πάτερ συμπαθέστατε, ὁ μηδὲν ἐπὶ τῆς γῆς ἐπιθυμήσας, διὰ τὴν μέλλουσαν ζωήν, μέμνησο τῶν σῶν φοιτητῶν, ὅτι ταύτην κατέχεις, καὶ ῥύου ταῖς εὐχαῖς σου, τῶν καθ᾽ ἡμῶν φρονούντων τὰ σκάνδαλα.

**Καὶ νῦν. Μεθέορτον τῆς Κοιμήσεως.**

**Ἦχος ὁ αὐτός·**

**Δ**εῦτε τὴν παγκόσμιον Κοίμησιν, τῆς παναμώμου Θεοτόκου ἑορτάσωμεν· σήμερον γὰρ Ἄγγελοι πανηγυρίζουσι, τὴν σεπτὴν Μετάστασιν τῆς Θεομήτορος, καὶ πρὸς εὐωχίαν ἡμᾶς τοὺς γηγενεῖς συγκαλοῦσι, τοῦ βοᾶν ἀσιγήτῳ φωνῇ· Χαῖρε, ἡ μεταστᾶσα ἀπὸ γῆς, καὶ πρὸς οὐρανίους μονὰς μετοικήσασα. Χαίροις, ἡ τῶν Μαθητῶν τὸν χορόν, διὰ νεφέλης κούφης εἰς ἓν συναγαγοῦσα. Χαίροις, ἡ ἐλπὶς καὶ προστασία ἡμῶν. Σὲ γὰρ Χριστιανῶν τὸ γένος, ἀπαύστως μακαρίζομεν.

**Εἴσοδος, τὸ Προκείμενον τῆς ἡμέρας·**

**Καὶ εἶτα τὰ Ἀναγνώσματα.**

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

**(Κεφ. γ´ 1)**

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶ αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

**(Κεφ. ε´ 15)**

**Δ**ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ, Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸ ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥηφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης ποταμοὶ δὲ συγκλήσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

**(Κεφ. δ΄ 7)**

**Δ**ίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν.

**Πρῶτον τὸ Ἰδιόμελον τῆς Μονῆς.**

***Ἦχος α΄.***

Τῷ ἕκτῳ μηνί, ὁ Ἀρχιστράτηγος ἀπεστάλη, πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνήν, μηνύσαι σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· τέξει Υἱὸν τὸν πρὸ αἰώνων ἐκ Πατρός· καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν.

**Εἶτα δὲ τὰ τοῦ Ὁσίου. Ἦχος α΄.**

Τὴν τιμίαν σου μνήμην, τὴν ἀξίαν ἐπαίνων, συνελθόντες τὰ σὰ τέκνα, ἐν ἐγκωμίοις γεραίρομεν. Ἔλαμψας γὰρ τῷ βίῳ σου καὶ τῇ σεμνῇ σου πολιτείᾳ, ὡς ἀστὴρ φαεινότατος, τῆς κακοπιστίας καὶ πλάνης ἐλέγξας τὸ ἀσύστατον. Οὐ γὰρ τῶν καιρῶν τὰ τέλη, ἀλλὰ προθέσεως ἡ σπάνις, τῆς θείας Χάριτος διίστησι· σὺ δὲ οὐκ ἐκλάπης τῇ ῥαθυμίᾳ, τῶν Πατέρων εὐλαβέστατε. Διὸ ἀξίως τῶν καμάτων σου νῦν κατατρυφᾷς, καὶ τῶν αἰτούντων σε παρέχεις, ἐν πίστει τὰ αἰτήματα.

**Ὁ αὐτός.**

Τὸ θερμὸν τοῦ σοῦ ζήλου τίς διηγήσεται, Πάτερ ἱλαρώτατε; οὐκ ἔδωκας ἄνεσιν τῷ πολυμόχθῳ σου βίῳ, οὐδὲ δακρύειν ἀπέσχες, ἀποβλέπων πρὸς τὸ κριτήριον· διὸ ἅπας σου ὁ βίος ἡσύχιος παρῆλθεν, συμπαθείας καὶ ἀγάπης πλήρης. Τὴν καρτερίαν σου δὲ τίς ἂν εἴποι; ὅτι ἐβάστασας εἰς τέλος τὸν σταυρόν σου, ἀσθενείαις καὶ πόνοις κακουχούμενος, ἕως δυσμῶν τοῦ βίου σου. Ἀλλά, θεοφόρε Πατὴρ ἡμῶν, τῶν ἀντιδόσεων τρυφῶν τοὺς πόνους, μέμνησο καὶ ἡμῶν, τῶν εὐφημούντων τὴν μακαρίαν σου κοίμησιν.

**Ὁ αὐτός.**

Ὅτε μακάριε προσηύχου, καὶ ἠτένιζες δακρύων, τῆς Πανάγνου τὸ ναΐδριον, ὡς ἀκτὶς ἐπῆλθέ σοι τοῦ Πνεύματος ἡ Χάρις, καὶ θαυμαστῶς ἠλλοίωσε, τῆς εὐχῆς βραβεύσασα κατὰ τὸν πόθον σου τὴν Χάριν· διὸ καὶ οὐ διέλιπες ἐν πάσῃ σου τῇ ζωῇ, ἰδιάζων, ἀγρυπνῶν καὶ εὐχόμενος. Ἀλλὰ καὶ ἡμῖν μετάδος τὰ αὐτὰ ταῖς εὐχαῖς σου, Πάτερ συμπαθέστατε, ὡς ἔχων παῤῥησίαν, πρὸς τὸν φωτίσαντά σε Κύριον.

**Ἦχος β΄.**

Ὅτε κοπιῶν, Πάτερ ἐτέλεις, πειρασμοῖς ποικίλοις στενούμενος, τότε τῇ Παρθένῳ προσπίπτων, μετὰ πίστεως ἠτένιζες· διὸ καὶ φωνῆς Αὐτῆς ἀκήκοας, καὶ κατὰ τὸ χωροῦν τὴν ὑπερήλιον μορφὴν αὐτῆς κατεῖδες, πρὸς αὐτὴν ἔχειν σου, λαλούσης τὴν ἐλπίδα. Αὐτὴν οὖν, Πάτερ, ἱκέτευε καὶ ἡμῶν τὴν πρόνοιαν ποιεῖσθαι, εἰς τοῦ δυστήνου τούτου βίου τὴν περίοδον· ἐν δὲ τῆς κρίσεως ἡμέρᾳ, ἐλευθερῶσαι εὐθύνης τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α΄.**

Ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανευφρόσυνος ἀνέτειλε σήμερον, τὸ Ὄρος τὸ Ἅγιον τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ τῶν κόλπων σου ἐβλάστησεν, ὡς ᾀειθαλὲς φυτὸν ἀθανασίας, Ἰωσὴφ ὁ ἀοίδιμος. Μοναστῶν τὸ σύστημα σεμνύνεται, καὶ δοξάζεται ἡ Ἐκκλησία, τῶν τέκνων αὐτῆς τοῖς τροπαίοις στολιζομένη. Ὄντως γὰρ ὁ μακάριος, τῷ φόβῳ Κυρίου πυρούμενος, οὐκ ἐνέδωκε τῇ ῥαθυμίᾳ, φιλοπόνως δὲ τὸ τάλαντον αὐξήσας, τῆς εὐκταίας φωνῆς ἠξίωται, καὶ μετὰ παῤῥησίας τῷ Δεσπότῃ συνεισῆλθε, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων· καὶ πρεσβεύει τῷ Κυρίῳ, ὑπὲρ τῶν αἰτούντων αὐτοῦ τὴν σωτήριον ἀντίληψιν.

**Καὶ νῦν. Μεθέορτον τῆς Κοιμήσεως.**
**Ἦχος ὁ αὐτός.**

ᾎσατε λαοὶ τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὀλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησι· Ὧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Εἰς τὸν Στίχον,**

**Στιχηρὰ προσόμοια.**
**Ἦχος α΄. *Τῶν οὐρανίων ταγμάτων.***

Ταῖς φωτειναῖς τῶν ὁσίων, σκηναῖς αὐλίζῃ νῦν, Πατὴρ ἡμῶν θεόφρον, ἃς ἐπόθεις ἐντεῦθεν, καὶ ηὔχου ἐν δακρύοις πάσῃ σπουδῇ,

καὶ σοῖς βλεφάροις οὐκ ἔδωκας, ὕπνον καθ᾽ ὅλου οὐδ᾽ ἄνεσιν τῇ σαρκί, ἕως ἔλιπες τὸν βίον σου.

**Στίχ.** *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εἰ καὶ ἀπέστης τοῦ βίου, ἀλλὰ μὴ παύσῃ οὖν, πρὸς Κύριον δεήσεις καὶ εὐχὰς ἀναφέρειν, τοῦ σῶσαι ἐκ κινδύνων ἡμῶν τὰς ψυχάς, καὶ εἰρήνην δωρήσασθαι, τῇ Ἐκκλησίᾳ καὶ σκάνδαλα τοῦ ἐχθροῦ, καταπαῦσαι τὰ πληθύναντα.

**Στίχ.** *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Τῆς συμπαθοῦς σου προνοίας, Πάτερ δεόμεθα, δι᾽ ἧς ἡμᾶς ἐφρούρεις, τῇ θερμῇ σου ἀγάπῃ· ὑπέσχου γὰρ τοῦ εἶναι ὁμοῦ μετὰ σοῦ, τοὺς φοιτῶντάς σοι πάντοτε, ἐν τῇ μελλούσῃ σου δόξῃ παρὰ Θεοῦ, ἣν ἡτοίμασας τοῖς πόνοις σου.

**Δόξα. Ἦχος β΄.**

Τῆς φωτοφόρου σου μνήμης, Ἰωσὴφ Πατὴρ ἡμῶν, ἡ λαμπρὰ πανήγυρις στολίζει, τῶν ἡμερῶν τὴν χαλεπότητα. Ὥσπερ γὰρ λύχνος ἐν αὐχμηρῷ τόπῳ φωτίζει, οὕτως ἡ διήγησις τῶν σῶν κατορθωμάτων, τὰς ψυχὰς τῶν φιλοχρίστων κατηύφρανε, καὶ τῶν φιλοπόνων τὸν τόνον ἐνεύρωσε, τῶν δὲ ῥαθύμων ἤγειρε τὴν προθυμίαν. Τοῖς πᾶσιν οὕτω γέγονεν ἀφορμὴ πρὸς σωτηρίαν, καὶ δοξολογίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Ὃν ἱκέτευε δωρῆσαι τοῖς τιμῶσί σε, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Μεθέορτον τῆς Κοιμήσεως.**
**Ἦχος ὁ αὐτός.**

Ἡ πανάμωμος νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός, ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, τῆς ἀσυγχύτου ἑνώσεως, σήμερον τὴν ἄχραντον ψυχήν, τῷ Ποιητῇ καὶ Θεῷ παρατίθεται· ἣν Ἀσωμάτων δυνάμεις, θεοπρεπῶς ὑποδέχονται· καὶ πρὸς ζωὴν μετατίθεται, ἡ ὄντως Μήτηρ τῆς ζωῆς, ἡ λαμπὰς τοῦ ἀπροσίτου φωτός, ἡ σωτηρία τῶν πιστῶν, καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

**Μετὰ τό, Νῦν ἀπολύεις. Τρισάγιον καί·**

**Ἀπολυτίκιον.**

**Ἦχος δ΄. «*Ταχὺ προκατάλαβε*».**

Τοῦ Ἄθωνος βλάστημα καὶ μοναστῶν καλλονή, ἀσκήσεως πρόμαχος καὶ ἡσυχίας λιμήν, ἐδείχθης Πατὴρ ἡμῶν, ἔδειξας βιοτῇ σου, τοὺς τῆς Χάριτος τρόπους, ἔσωσας τῇ εὐχῇ σου τοὺς πιστῶς σε αἰτοῦντας· διὸ πρέσβευε τῷ Κυρίῳ, Ἰωσὴφ Πατὴρ ἡμῶν Ὅσιε.

**Ἕτερον Ἀπολυτίκιον. Ὅμοιον.**

Ἀσκήσει τὸ πρότερον καταδαμάσας σαρκός, τὸ φρόνημα ὕψωσας ἐκ τῶν γηίνων τὸν νοῦν, Πατὴρ ἡμῶν Ὅσιε. Ἔγνως τῇ θεωρίᾳ, σεσωσμένων τοὺς δήμους, ἔδειξας τοῖς ποθοῦσι σωτηρίας τὴν τρίβον, διὸ καὶ τοὺς τιμῶντάς σου νῦν, τὴν μνήμην διάσῳζε.

**Καὶ τὸ τῆς ἑορτῆς. Ἦχος α΄.**

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν Α΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος γ΄. «Τὴν ὡραιότητα».**

Ταῖς ὑπερ ἥλιον, αὐγαῖς τοῦ Πνεύματος, Πάτερ πεφώτισαι, καὶ ἀπενέκρωσας, σαρκὸς τὸ φρόνημα ὁμοῦ, καὶ πᾶσαν ἡδυπάθειαν, ἔργῳ δὲ ἠγάπησας, τὸν Θεὸν καὶ πλησίον σου, συμπαθῶς φερόμενος, τοῖς αἰτοῦσί σε πάντοτε· διὸ ἐν γῇ πραέων ἀγάλλῃ, πόνους τοὺς σοὺς ἀπολαμβάνων.

**Δόξα. Τὸ αὐτό·**

**Καὶ νῦν. Μεθέορτον. Ὅμοιον.**

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος· ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος· θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

**Μετὰ τὴν Β΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος πλ. δ΄. «*Τὴν Σοφίαν καὶ Λόγον*».**

Συμπαθὴς ἐλεήμων καὶ ἐγκρατής, ταπεινός τε ἀκτήμων ἡσυχαστής, τῷ βίῳ σου γέγονας Ἰωσὴφ παμμακάριστε, τῆς γὰρ πολλῆς μερίμνης τὸν νοῦν σου ἀπέστησας, καὶ τῇ εὐχῇ δι᾽ ὅλου σαυτὸν ὅλον δέδωκας· ὅθεν τοῦ σκοποῦ σου, οὐ διήμαρτες Πάτερ, καὶ δράγματα αἴρεις σου, ἃ πενθῶν ἐγκατέσπειρας, φιλοπόνως τῷ βίῳ σου. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ὁσίαν μνήμην σου.

**Δόξα. Τὸ αὐτό·**

**Καὶ νῦν. Μεθέορτον. Ὅμοιον.**

Ἡ Θεὸν συλλαβοῦσα ἄνευ σπορᾶς, σαρκωθέντα τεκοῦσα δίχα φθορᾶς, τὴν νέαν ἀμφιέννυσαι, ἀφθαρσίαν τοῦ Πνεύματος· ὡς γὰρ ζωῆς σὺ Μήτηρ, καὶ πάντων Βασίλισσα, πρὸς τὴν ζωὴν μετέστης, Παρθένε τὴν ἄϋλον· ὅθεν ἐπαξίως, ἀληθῶς ἀνεδείχθης, νεφέλη πηγάζουσα, τῆς ζωῆς ἡμῶν νάματα, Θεομῆτορ πανάμωμε. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὴν θείαν σου Κοίμησιν.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**

**Ἦχος δ΄. «*Κατεπλάγη Ἰωσήφ*».**

Ὑπετάγης τῷ Θεῷ, ὅλῃ καρδίᾳ καὶ σπουδῇ, καὶ ὑπέταξας ὁμοῦ, πάθη καὶ δαίμονας σοφέ, τῇ ἐκ Θεοῦ δοθείσῃ σοι ἀντιλήψει, πένθει γὰρ πολλῷ καὶ ἡσυχίᾳ τελῶν, ἐκάθηρας τὸν νοῦν, τοῦ Παρακλήτου αὐγαῖς, καὶ φωτισθεὶς τῷ Πνεύματι ἑώρακας, τῶν σωζομένων σκηνώματα. Ταῖς σαῖς πρεσβείαις, αὐτὰ οἰκῆσαι, καὶ ἡμᾶς Πάτερ ἀξίωσον.

**Δόξα. Τὸ αὐτό·**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Καταπείθει μου τὸν νοῦν, ἡ τῶν παθῶν ἐπιφορά, καὶ ἐπείγομαι ποιεῖν ἐκ συνηθείας τὰ κακά, ἃ ἐκ νεότητος φεῦ μοι διεπραξάμην· ὅθεν πρὸς τὴν σήν, σκέπην πέφευγα, σῶσόν με Ἁγνὴ τὸν ταλαίπωρον, καὶ γὰρ ἰσχύεις Δέσποινά μου πάντα, τῇ Μητρικῇ παῤῥησίᾳ σου· δοξάζω ὅθεν, Σὲ ὡς αἰτίαν, τῶν σωζομένων Πανύμνητε.

**Οἱ Ἀναβαθμοί, τὸ Α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.**
**Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
**Στίχ.** *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

**Πᾶσα πνοὴ ... Εὐαγγέλιον Ὁσιακόν.**
**Μετὰ τὸν Ν΄ Ψαλμόν.**

**Δόξα.** Ταῖς τοῦ σοῦ Ὁσίου ...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου ...

**Εἶτα τὸ Ἰδιόμελον· Ἦχος πλ. β΄.**

**Στίχ.** *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς ...*

Ὅσιε Πάτερ Ἰωσὴφ παναοίδιμε, συνελθόντες τὰ σὰ τέκνα, μετὰ πόθου τιμῶμέν σου, τὴν σεπτὴν τῆς κοιμήσεως μνήμην, καὶ ὑμνοῦμεν πιστῶς τὸν δοξάσαντά σε Κύριον.

**Οἱ Κανόνες· Πρῶτος Κανὼν τῆς ἑορτῆς τῆς Κοιμήσεως εἰς ϛ΄ καὶ οἱ δύο Κανόνες εἰς τὸν Ὅσιον ἀνὰ δ΄.**

**Πρῶτος ὁ Κανὼν τῆς Ἑορτῆς, οὗ ἡ ἀκροστιχίς·**
Πανηγυριζέτωσαν οἱ θεόφρονες.
**Ποίημα τοῦ Κυρίου Κοσμᾶ.**

**Ὠδὴ α΄.**
**Ἦχος α΄. Ὁ Εἱρμός.**

***Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὔκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας, Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται. (Δίς).***

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου· ἄφνω δὲ συῤῥεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην· μεθ᾽ ὧν Ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἦρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν

ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

## Κανών Πρῶτος τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:

**«ΤΗΝ ΦΩΣΦΟΡΟΝ ΣΟΥ ΓΕΡΑΙΡΩ ΠΑΤΕΡ ΜΝΗΜΗΝ, ΙΩΣΗΦ».**

**ᾨδὴ α΄.**

***Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.***

**Τ**αῖς πρὸς Θεόν σου μεσιτείαις φώτισον, Πάτερ τὸ πνεῦμά μου, καὶ τῆς γλώσσης λῦσον, τὸ στενὸν καὶ ἄγονον, ὅπως ἰσχύσω ᾄσμασι, τὴν ὁσίαν σου μνήμην, καὶ τὰ σεπτὰ κατορθώματα, μετὰ παῤῥησίας ὑμνῆσαί σου.

**Ἡ** τοῦ Ὑψίστου θεία Χάρις πρώιμα, ὅλον ἐφείλκυσε, πρὸς ἑαυτὴν ὅλως, καὶ ματαίων ἥρπασε, τὸ Ὄρος δὲ τὸ Ἅγιον, κατοικεῖν σε προθύμως, καὶ μοναστῶν τὴν θεόφρονα, Πάτερ, πολιτείαν ἐδίδαξε.

**Ν**ύκτα καθάπερ τὴν παροῦσαν ἔβλεπες, Πάτερ περίοδον, καὶ πενθῶν ἐτέλεις μηδαμῶς συλούμενος, τοῦ βίου ματαιότησιν, ἀλλὰ μᾶλλον ἑώρας, τῶν σωζομένων σκηνώματα, Πνεύματος φωτὶ αὐγαζόμενος.

**Φ**έρειν ἐπόθεις τὸν Σταυρὸν ἐπ᾽ ὤμων σου, περιουσίᾳ πολλῇ, θείου ζήλου Πάτερ, καὶ ὀπίσω ἔτρεχες, Χριστοῦ τοῦ σὲ καλέσαντος, καὶ οὐδόλως ἐστράφης, τῇ προαιρέσει τοῖς ὄπισθεν, εὔθετος Κυρίῳ γενόμενος.

**Ὡ**ραῖος ὄντως καὶ καλὸς ὁ βίος σου, ὁ τρόπος ἄριστος, συμπαθεῖς αἱ πράξεις, καὶ ἁπλοῦν τὸ φρόνημα, ὅλος ἀγάπης ἔμπλεως, καθαρὸς τῇ καρδίᾳ, καὶ τῇ σπουδῇ προθυμώτατος, Πάτερ Ἰωσὴφ παμμακάριστε.

**Θεοτοκίον.**

**Σ**τόμα καὶ γλῶσσαν καὶ καρδίαν κάθαρον, καὶ τοῦ νοὸς τὴν ἀχλύν, ὅπως ἐξισχύσω, ἐπαξίως Δέσποινα, ὑμνῆσαι τὰ θαυμάσια, μεγαλεῖα ὡσαύτως, ἅπερ Θεός σοι ἐποίησεν, ὁ ἐκ σοῦ τεχθεὶς ὡς ηὐδόκησεν.

## Κανὼν Ἕτερος τοῦ Ὁσίου, ἄνευ ἀκροστιχίδος.

**ᾨδὴ α΄.**

**Ἦχος δ΄. *«Ἀνοίξω τὸ στόμα μου».***

Ἁρμόδιον ὕμνον σοι, πῶς περιγράψω Πατὴρ ἡμῶν, τοῦ λόγου στερούμενος, καὶ φωτισμοῦ τοῦ νοός, ὅμως κράζω σοι, μετάδος μοι εὐχαῖς σου, ἀξίως ὑμνῆσαί σου τὴν θείαν κοίμησιν.

Στοιχῶν τῶν πατέρων σου, ταῖς διδαχαῖς Πάτερ Ὅσιε, τὸν κόσμον κατέλιπες, καὶ ἦρας ὤμοις σου, πόθῳ ζέοντι, Σταυρὸν τὸν τοῦ Κυρίου, καὶ τούτου τοῖς ἴχνεσι κατηκολούθησας.

Μακρύνας νῷ ἔμφρονι, τῆς τῶν αἰτίων συγχύσεως, ἐτέλεις πλανώμενος, τὸν μαργαρίτην ζητῶν, καὶ ἀπέκρυψας εἰς βάθος σῆς καρδίας, τρυφῶν τούτου πάντοτε θεομακάριστε.

Ἀξίως τῆς κλήσεως, ἐπαγρυπνῶν διετέλεσας, τὴν σάρκα νεκρώσας σου, ταῖς κακουχίαις στοιχῶν, καὶ ἀνύψωσας, τὸν νοῦν τῇ θεωρίᾳ, γενόμενος μέτοχος τῆς αἰωνίου ζωῆς.

**Θεοτοκίον.**

Τὴν μόνην κυήσασαν, τὸν τῷ Πατρὶ ὁμοούσιον, καὶ μείνασαν ἄφθορον, πάντες τιμήσωμεν, τὴν τιμήσασαν, τὴν φύσιν τῶν ἀνθρώπων, καὶ Παρθένον μείνασαν μετὰ τὴν κύησιν.

**Καταβασία·** Πεποικιλμένη τῇ θείᾳ δόξῃ...

**ᾨδὴ γ΄.**

**Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.**

***Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.*** ***(Δίς).***

Γυναῖκά σε θνητήν, ἀλλ᾽ ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς θεότητος, ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισε.

**Τοῦ Ὁσίου. *Ὁ στερεώσας κατ᾽ ἀρχάς.***

Φωτὸς ἀΰλου τὰς αὐγάς, τῇ σῇ ψυχῇ δεδεγμένος, φωτεινὸς σὺ ἐχρημάτισας ὅλως, καὶ τοῦ σκότους τὰς ἀρχάς, τῇ χάριτι κατέβαλες, καὶ στεφηφόρος ὤφθης, ἐν τοῖς ὁσίων σκηνώμασι.

Ὅλως ἐτρώθης τῇ ψυχῇ, τῇ τοῦ Κυρίου ἀγάπῃ, Οὗ κατόπισθεν πιστῶς ἠκολούθεις, καὶ ὑψώσεις τὰς αὐτοῦ, ἐμμελετῶν διήνυσας, καὶ νῦν τῶν σῶν ἀγώνων, κατατρυφᾷς τὴν ἀντίδοσιν.

Ῥεόντων ἄστατον φοράν, καὶ τοῦ ἐχθροῦ τὴν μανίαν, φιλοσόφῳ διανοίᾳ συγκρίνας, διετέλεσας πενθῶν, καὶ κλαίων ἐν τῷ βίῳ σου, διὸ καὶ παρεκλήθης ἐν γῇ πραέων ἀοίδιμε.

Ὁρμὰς δαιμόνων προσευχῇ, καὶ ἀγρυπνίᾳ συντόνῳ, ἀπεσόβεις ἀπὸ σοῦ Πάτερ ψάλλων, νικητήρια Χριστῷ, τῷ σὲ ἀμφοῖν λυτρώσαντι, παθῶν καὶ πάσης πλάνης, καὶ νικητὴν ἀναδείξαντι.

Νηστείαις Πάτερ καρτερῶν, καὶ ἀγρυπνῶν διετέλεις, κατὰ μόνας τῷ Θεῷ διατρίβων· Ὃς τοῦ κόπου σου ἰδών, τὸν πόθον σὲ ἀντήμειψεν, χειρὶ θείου Ἀγγέλου, πέμψας σοι ἄρτον οὐράνιον.

**Θεοτοκίον.**

Σὲ μεσιτείαν πρὸς Χριστόν, προβάλλομεν Θεοτόκε, ἐν τῇ ὥρᾳ τῆς φρικτῆς καταδίκης, ἵνα ῥύσῃ τῆς ποινῆς, καὶ δεξιὰν παράστασιν, παράσχῃς τοῖς ἀχρείοις, τῇ Μητρικῇ παῤῥησίᾳ σου.

**Ἕτερος τοῦ Ὁσίου· *Τοὺς σοὺς ὑμνολόγους.***

Ὡς φρόνιμος ὤφθης οἰκονόμος, μερίσας δικαίως ὡς σοφός, τοῦ πόθου σου τὴν ἔφεσιν, τὰ πλεῖστα δοὺς τῷ πλάσαντι, καὶ τῇ σαρκὶ τὸ ἔλαττον, ὡς νουνεχὴς παρεχώρησας.

Ναῷ ἀτενίζων τῆς Δεσποίνης, καὶ πόθῳ δεόμενος Αὐτῆς, τῆς σῆς εὐχῆς ἐπήκουσε, καὶ φωτισμοῦ ἠξίωσε, καὶ τῆς εὐχῆς ἀξίωμα, σοὶ ἀδιάλειπτον ἔδωκε.

**Σ**τηρίζων ἀεὶ ταῖς διδαχαῖς σου, ἡμᾶς τοὺς ἰδίους μαθητάς, τὴν πρᾶξιν ὡς ἐπίβασιν, τῆς θεωρίας ἔκρινας, τοῦτο διαπιστούμενος, τῇ ἀκριβεῖ πολιτείᾳ σου.

**Ἀ**γγέλους εἰς τύπον τῆς Τριάδος, ὑμνοῦντας τὸ Ὅσοι εἰς Χριστόν, τεθέασαι τελῶν νυκτί, τῶν Φώτων τὴν πανήγυριν, ἀγρύπνως προσευχόμενος, σὺ κατὰ μόνας μακάριε.

**Θεοτοκίον.**

**Ἐ**λέους τὴν ἄβυσσον τεκοῦσα, ἐλέους ἀξίωσον ἡμᾶς, κεκακωμένους πάντοθεν, ἀδίκως ἐν τῇ μάνδρᾳ σου, ἀλλὰ στοργῇ σου πρόφθασον, καὶ τῶν θλιβόντων ἀπάλλαξον.

**Καταβασία·** Ἡ δημιουργικὴ καὶ συνεκτικὴ ...

**Μετὰ τῆν αἴτησιν·**

**Ἀναγινώσκεται τὸ Κοντάκιον τῆς Ἑορτῆς.**

***Ἦχος πλ.β΄.***

**Τ**ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας Ἀειπάρθενον.

**Καὶ εἶτα·**

**Κάθισμα τοῦ Ὁσίου.**

**Ἦχος δ΄. «*Κατεπλάγη Ἰωσήφ*».**

**Τ**ῶν δακρύων σου ῥοαῖς, τὰς τῶν παθῶν ἐπιφοράς, ἀπεκρούσω τὰς δεινάς, καὶ τῶν δαιμόνων τὰς ὁρμάς, ἐπιθεμένων σοι Πάτερ ἐνασκουμένῳ. Φωναῖς γὰρ οἱ δεινοί, σὲ διετάρασσον, καὶ σχήμασι φρικτοῖς, τοῦ δειλιᾶσαί σε, ἀλλὰ οὐδόλως ἴσχυον φοβεῖν σε, τῇ πανοπλίᾳ φραξάμενον· εὐχῇ γὰρ μόνῃ καὶ θείᾳ πίστει, ὡς καπνὸν τούτους διέλυες.

**Δόξα. Τὸ αὐτό·**

**Καὶ νῦν. Μεθέορτον. Ὅμοιον.**

Καθορῶσαι ἀληθῶς, αἱ τῶν Ἀγγέλων στρατιαί, τὴν Μετάστασιν τὴν σήν, ἄχραντε Μῆτερ τοῦ Θεοῦ, εὐλογημένη πανύμνητε Παναγία, ἔχοντες βουλὴν τοῦ τεχθέντος ἐκ σοῦ, στίφος Μαθητῶν συναθροίσασαι, ἐν εὐφροσύνῃ ἔφερον τὸ τίμιον, εἰς τὸν Παράδεισον σῶμά σου, Χριστὸν ὑμνοῦσαι, τὸν ζωοδότην, ὄντα εἰς τοὺς αἰῶνας.

## Ὠδὴ δ΄.

### Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.

***Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σου Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.*** ***(Δίς).***

Ἴδετε λαοὶ καὶ θαυμάσατε· τὸ ὄρος γὰρ τὸ ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων βουνῶν, ἐφ᾽ ὕπερθεν αἴρεται, οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατος σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου πρὸς θείαν ὄντως καὶ ἄῤῥευστον, μεθιστῶν σε Ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱὸν καθορᾶν σου καὶ Κύριον.

Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ, μητρῷον κειμήλιον. Χερουβὶμ ὑπεῖξέ σοι, ἐν ἀγαλλιάσει· Σεραφὶμ δὲ δοξάζει σε χαίροντα.

### Τοῦ Ὁσίου. *Σὺ μου ἰσχύς, Κύριε.*

Ὅλῃ σπουδῇ, τοῖς τοῦ Κυρίου προστάγμασι, πειθαρχήσας, Πάτερ ἐκ νεότητος, ἦρας ἐπ᾽ ὤμων σου τὸν Σταυρόν, καὶ κατηκολούθεις, τῷ Σταυρωθέντι ἑπόμενος, νηστεύων καὶ πυκτεύων, κατέβαλες τὰ πάθη, χάριτι θείᾳ δυναμούμενος.

Ὑπὲρ Χριστοῦ, τῆς ἀγαπήσεως ἔστεργες, θεῖε Πάτερ, πάντα τὰ ἐπίπονα, καὶ τῶν ἀνθρώπων ὀνειδισμούς, οἵ σε ἐθεώρουν, ὡς πλανηθέντα καὶ ἔσκωπτον, σὺ δὲ σοφῶς στοιχήσας, καὶ πλεῖστα καρτερήσας, τοῦ σκοποῦ σου ποσῶς οὐ διήμαρτες.

Γραπτῶς ἐν σοί, τὰ τοῦ Κυρίου ἐντάλματα, Πάτερ φέρων, ἔστενες θλιβόμενος, καὶ τῇ εὐχῇ ὅλον σεαυτόν, δέδωκας σχολάζων, ἐρήμοις τό-

ποις κρυπτόμενος, διό σε ὁ Δεσπότης, πλουσίως ἀνταμείψας, τῶν ὁσίων χοροῖς σὲ κατέταξεν.

**Θεοτοκίον.**

Ἔργα δεινά, πάσῃ σπουδῇ ἐκτετέλεκα, καταισχύνας τὴν ἐμὴν εὐγένειαν, καὶ γυμνωθεὶς πᾶσάν μου στολήν, ξένῃ χώρᾳ οἴμοι! παραφρονῶν ἀπεδήμησα, τίς σώσει με ἐκ τούτων; εἰ μὴ σὺ Δέσποινά μου, ἁμαρτωλῶν τὸ καταφύγιον.

**Ἕτερος τοῦ Ὁσίου·** ***Τὴν ἀνεξιχνίαστον.***

Φῶς τὸ ἐνοικῆσαν τῇ σῇ ψυχῇ, ὕψει θεωρίας ἀνήρπασε, καὶ παραδείσου, σὺ κατώπτευσας μονάς, ἔνθα χοροὶ ἀγάλλονται, πάντων δικαίων εὐφραινόμενοι.

Ὄρει τῆς Παρθένου ἐκ νεαρᾶς, Πάτερ ἡλικίας ἐχώρησας, καὶ ᾑρετίσω, κατὰ μόνας τῷ Θεῷ, ἐφησυχάζειν πάντοτε, χλεύας ἀδαῶν μὴ πτοούμενος.

Σοῦ τὸν θεῖον πόθον καὶ ἀρετήν, ὁ ἐχθρὸς φθονῶν ἐπετίθετο, ὥσπερ τις λέων, ἐκφοβεῖν σὲ προσδοκῶν, ἀλλ᾽ οὐδαμῶς κατίσχυσεν, Πάτερ Ἰωσὴφ παμμακάριστε.

**Θεοτοκίον.**

Ἐν Σοὶ Κεχαριτωμένη φύσις βροτῶν, τῆς ἀρᾶς τῆς πρὶν ἠλευθέρωται, τὴν τοῦ Ὑψίστου, ὡς κυήσασα Ἰσχύν, ἀνερμηνεύτως Δέσποινα, Μήτηρ τοῦ Θεοῦ ἐχρημάτισας.

**Καταβασία·** Ῥήσεις Προφητῶν καὶ αἰνίγματα ...

**ᾨδὴ ε΄.**

**Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.**

***Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, Παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος. (Δίς).***

Ὡς ἐπὶ νεφέλης Παρθένε, τῶν Ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο, ἀφ᾽ ἧς ὁ Ὕψιστος Θεός, τοῖς ἐν σκότει καὶ σκιᾷ, δικαιοσύνης ἔλαμψεν ἥλιος.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν θεολόγων ἀνδρῶν εὐηχέστερον, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τῷ Πνεύματι· Χαίροις ἀκήρατε πηγή, τῆς τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων σαρκώσεως.

**Τοῦ Ὁσίου. *Ἵνα τί με ἀπώσω*.**

Ῥήσει θείων λογίων, ἅμα καὶ Πατέρων σοφαῖς εἰσηγήσεσι, πειθαρχήσας Πάτερ, τὸν σὸν ζῆλον καλῶς διετήρησας, καὶ καρποὺς ἀξίους, ἐκ τῶν σῶν πόνων ἐκομίσω, δωρεὰς τὰς ἀφθάρτους τοῦ Πνεύματος.

Ἀγρυπνῶν διετέλεις, Πάτερ Ἰωσὴφ τῆς ζωῆς σου τὸ σύνολον, καὶ καρδίαν ἔσχες, καθαρὰν καὶ ἀγάπης ἀνάπλεων, τὸν Θεὸν γνησίως, καὶ τὸν πλησίον ἀγαπήσας, εὐλαβῶς τὸν σὸν βίον διήνυσας.

Ἰωσὴφ τοῦ Παγκάλου, Πάτερ μιμητὴς σωφροσύνης γεγένησαι· καὶ ἀγρίως πνεῦμα τῆς σαρκὸς πολεμῶν οὐκ ἐνέδωσας, ἀλλ᾽ εἰς τέλος τοῦτο, κατανικήσας σοὶ ἐδείχθη, ὥσπερ χοῖρος μορφῇ, δυσειδέστατος.

**Θεοτοκίον.**

Ῥυπωθεὶς ἁμαρτίαις, καὶ τῇ τῶν παθῶν συνηθείᾳ κρατούμενος, τοῖς κακοῖς ἐμβάλλω, τῇ δουλείᾳ στοιχῶν ὁ κατάκριτος. Αἰχμαλώτων ῥύστις, ἁμαρτωλῶν ἡ σωτηρία, Θεοτόκε Παρθένε βοήθει μοι.

**Ἕτερος τοῦ Ὁσίου· *Ἐξέστη τὰ σύμπαντα.***

Ὀδύνης με λύτρωσαι, τῆς συνεχούσης πάντοθεν, παῦσον τῶν κακούντων ἐπινοίας, καὶ πολεμούντων τῆς βίας ῥῦσαι με, ἔχων τὴν Παρθένον καὶ Ἁγνήν, σοῦ καθυπακούουσαν τῶν σεπτῶν παρακλήσεων.

Ἰσχύς σοι δεδώρηται, ἐν πίστει ὑπομένοντι, Πάτερ ἀνιόντι μετὰ φόρτου, θείᾳ ῥοπῇ γὰρ σὲ ἀνεκούφισεν, ὁ ἀγαθοδότης καὶ Θεός, σπεύδων εἰς ἀντίληψιν, τῆς πολλῆς καρτερίας σου.

Πλατεῖαν ἀπέλιπες, στενῆς καὶ τεθλιμένης δέ, θείαις ἀναβάσεσιν ἐπέβης, καὶ θεωρίαις ἐμπλατυνόμενος, τὰ θεῖα θεώμενος σαφῶς, πόλιν τὴν οὐράνιον, ἀπ᾽ ἐντεῦθεν κατέλαβες.

**Θεοτοκίον.**

Λαβοῦσα Πανάμωμε, χειρὸς τῆς παρειμένης μου, τρίβους πρὸς εὐθείας εὔθυνόν με, Θεῷ ἀρέσκειν παρασκευάζουσα, ὅπως εὐχαρίστως σὲ ὑμνῶ, τὴν ἀειμακάριστον, Θεοτόκε Παντάνασσα.

**Καταβασία·** Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος ...

**Ὠδὴ ς΄.**

**Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.**

***Ἄλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου ἦν προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.*** ***(Δίς).***

Νέμει σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός· ἐν γὰρ τῷ τίκτειν, Παρθένον ὥσπερ ἐφύλαξεν, οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν, ἀδιάφθορον, καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱὸς Μητρὶ χαριζόμενος.

Ὄντως σε ὡς φαεινὴν λυχνίαν, ἀΰλου πυρός, θυμιατήριον θείου χρύσεον ἄνθρακος, ἐν τοῖς Ἁγίων Ἁγίοις κατεσκήνωσε, στάμνον ῥάβδον τε πλάκα θεόγραφον, κιβωτὸν ἁγίαν, τράπεζαν ἄρτου ζωῆς, Παρθένε ὁ τόκος σου.

**Τοῦ Ὁσίου.** ***Ἱλάσθητί μοι Σωτήρ.***

Ὡραῖος Πάτερ ὁ σός, βίος καὶ πράξεις σου ἔνθεοι, ὁσία ἡ τελευτή, τρανῶς μαρτυροῦσα σου, ἀγάπην ἣν ἔτρεφες τῇ Ἁγνῇ Παρθένῳ, ἧς τῇ μνήμῃ σε προσέλαβεν.

Πάτερ βοῶ ἀληθῶς, καὶ τέρπομαι τῇ ἀγάπῃ σου, τὴν πατρικὴν σου στοργὴν ἡδέως φαντάζομαι, καὶ πιστεύω ἔχειν σε, τῷ Θεῷ μεσίτην, ἐν τῇ ὥρᾳ τῆς ἐτάσεως.

Ἀγρύπνως διατελῶν, ἐν κορυφῇ τῇ τοῦ Ἄθωνος, νηστεύων καὶ ἐξαιτῶν τὴν Ἄχραντον Δέσποιναν, ἥτις ὥσπερ σύμβολον, δίδωσί σοι τρία, θεῖα μῆλα Πάτερ Ὅσιε.

Τριάδος τύπον ὁρᾷς, ἀγγελικῶς μελῳδοῦντάς σοι, τρεῖς παῖδας ὁλοφεγγεῖς, ψάλλοντας τὸ φώτισμα, ἀγρυπνῶν μακάριε, κατὰ μόνας Μόνῳ, τῷ Θεῷ κατευφραινόμενος.

**Θεοτοκίον.**

Ἐπέθεντο ἐπ᾽ ἐμοί, οἱ κραταιοὶ ἐν τῷ νώτῳ μου, τεκταίνοντες ἑαυτῶν, ἀνόμως τὰ ἄθεσμα· ἡ τούτους συντρίψασα, τῷ σεπτῷ σου Τόκῳ, τῶν χειρῶν αὐτῶν με λύτρωσαι.

**Ἕτερος τοῦ Ὁσίου· *Τὴν θείαν ταύτην*.**

Ἑστῶτι Πάτερ καὶ ψάλλοντι, τῇ θείᾳ κορυφῇ τῇ τοῦ Ἄθωνος, τοῦ ναϊδρίου ἐντός, μῆλά σοι τρία κεχάρισται, προνοίᾳ θείᾳ ὅλως τῆς Θεομήτορος.

Καλῶς στοιχῶν τῷ κανόνι σου, ἐγκλείστως καρτερῶν καὶ δεόμενος, τοῦ Θείου Σώματος, μεταλαβεῖν κατηξίωσαι, θείου Ἀγγέλου Πάτερ διακονήσαντος.

Ὁράσει Πάτερ τὸ πρότερον, τὴν δόξαν τῶν δικαίων τεθέασαι, νῦν δὲ πρὸς πρόσωπον· ὧν τοῖς χοροῖς συνταττόμενος, τῶν πόνων σου τὰ γέρα τρυγᾷς μακάριε.

**Θεοτοκίον.**

Πολλοῖς Παρθένε κυκλούμενοι, κινδύνοις καὶ κακῶν ἐπιτάσεσι, τοῦ πολεμήτορος, τῇ σῇ προνοίᾳ προσφεύγομεν, τῆς μάνδρας σου ἀξίους ἡμᾶς ἀνάδειξον.

**Καταβασία·** Ἅλιον ποντογενές, κητῷον ...

**Κοντάκιον τοῦ Ὁσίου.**

***Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.***

Ταῖς τῶν δακρύων σου ῥοαῖς Πάτερ ἀπέπλυνας,
καὶ ταῖς ἀγρύπνοις προσευχαῖς σου κατελάμπρυνας,
Ἰωσὴφ ψυχῆς τὸ ἔνδυμα καὶ Νυμφῶνος,
τοῦ ἀφθάρτου ἔνδον γέγονας γηθόμενος,

σὺν ὁσίοις ὧν τὸν βίον ἠκολούθησας,
μεθ᾽ ὧν πρέσβευε, τοῦ σωθῆναι τοὺς τιμῶντάς σε.

## Ὁ Οἶκος.

Τὸν τοῦ Ἄθωνος θρέμμα φανέντα καὶ μοναστῶν καύχημα, ἐσχάτοις μὲν καιροῖς διαλάμψαντα, ἔνθα ἀπιστία καὶ ἀμέλεια ἐπερίσσευσεν, μηδαμῶς δὲ τῇ πλάνῃ καὶ ῥαθυμίᾳ ὑποκύψαντα, δεῦτε εὐφημήσωμεν, μιμούμενοι αὐτοῦ τὸν ζῆλον καὶ τοῦ πόθου τὸ φιλόθεον· τὸν Θεὸν γὰρ δι᾽ ὅλου ἀγαπήσας, Αὐτῷ καὶ μόνῳ ἐκολλήθη ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ. Ἀλλ᾽ ὦ Πάτερ ἡμῶν Ἰωσὴφ συμπαθέστατε, ἱκετεύομέν σε, σὺν τῇ χορείᾳ τῶν ὁσίων μεθ᾽ ὧν συναγάλλῃ, πρέσβευε τυχεῖν σωτηρίας τοὺς τιμῶντάς σε.

## Τὸ Συναξάριον τῆς ἡμέρας, ἤτοι τῆς ις´ τοῦ Αὐγούστου, καὶ εἶτα:

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ἐν ἡσυχασταῖς δοκιμωτάτου, ὅστις, μαρτυρικὴν καρτερίαν ἐπιδειξάμενος ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ, μετέστη πρὸς Κύριον τῇ ιε´ τοῦ αὐτοῦ μηνός. Μετετέθη δὲ ἡ ἀκολουθία αὐτοῦ κατὰ τὴν σήμερον διὰ τὸ αἰδέσιμον τῆς Ἑορτῆς τῆς Θεοτόκου.

Γῆς μεταστὰς πρὸς πόλου τρέχεις πλάτος,
Ἔνθα σου καὶ ἦν τὸ πρὶν ἡ θεωρία.

Ταῖς αὐτοῦ εὐχαῖς καὶ ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ θείῳ ζήλῳ διανύσαι τὸν βίον καταξίωσον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

## Ὠδὴ ζ´.

### Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.

***Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε· τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν***

***ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.*** ***(Δίς).***

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν· ἀλλ' ὁ τούτου Δεσπότης, τὴν τεκοῦσαν ἀσινῆ, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. Σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένου καὶ Ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς Μεταστάσεως, πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ θεόφρων ἤθροισται λαός· τῆς γὰρ δόξης Θεοῦ τὸ σκήνωμα, ἐν Σιὼν μεθίσταται πρὸς οὐράνιον δόμον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

**Τοῦ Ὁσίου. *Παῖδες Ἑβραίων.***

Ῥύπον παθῶν τῇ προσευχῇ σου, ἀπεκάθηρας πενθῶν ὅλῳ τῷ βίῳ, καὶ ἔφθασας ἰδεῖν, νοὸς τῇ θεωρίᾳ, μονὰς ἃς ἐπηγγείλατο, ὁ Σωτὴρ τοῖς σεσωσμένοις.

Μόνος τῷ Μόνῳ ἐντυγχάνων, ἐξεζήτησας τὴν τούτου Θείαν Χάριν, καὶ ἐπέτυχες οὖν, σαφῶς τοῦ ποθουμένου, ὥσπερ ἀκτίνα ἄϋλον, ἐπιλάμψασάν σοι Πάτερ.

Νόμῳ σαρκὸς μὴ ὑποκύψας, οὐδὲ πλάνῃ τοῦ ἐχθροῦ καὶ ἁμαρτίας, τῷ Δεσπότῃ Χριστῷ, ὑπήκουσας προθύμως, καὶ μελῳδῶν ἐκραύγαζες, ὁ Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἥλιον Κόρη ἀνατέλλεις, Ὃς ἐφώτισεν αὐγαῖς αὐτοῦ τὸν κόσμον, φωταγώγησον οὖν, κἀμοῦ τὴν σκοτομῆνιν, ἀνατολὴ ὁλόφωτε, καὶ ἐλπὶς ἀπηλπισμένων.

**Ἕτερος τοῦ Ὁσίου· *Οὐκ ἐλάτρευσαν.***

Ἀναλλοίωτος, τοῖς σκώμμασι βαλλόμενος, τῇ καρτερίᾳ σου, τῆς Θεοτόκου ἁγνῆς, προνοίᾳ σκεπόμενος, ἔχαιρες ψάλλων Αὐτῇ· Ἀπειρόγαμε, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς Σῆς κοιλίας.

Τὴν καρδίαν σου, Τριάδος οἰκητήριον, ἀπεργασάμενος, τρεῖς ἐθεάσω μορφάς, ὁμοίας καθ᾿ ἅπαντα, ἐπευλογούσας σε, αἳ καὶ ἔψαλλον, τὸν φωτισμὸν τῆς χάριτος, ἐν ἡμέρᾳ τῇ τῶν Φώτων.

Ἐκ πταισμάτων μου, βαρούντων με Πατὴρ ἡμῶν, ὅλος ἠσθένησα· ταῖς ἱκεσίαις ταῖς σαῖς, συντόμως ἀπάλλαξον, ψάλλειν τε ποίησον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς ὑπάρχων μόνος.

**Θεοτοκίον.**

Ῥυομένη με, τεκοῦσα τὸν Σωτῆρά μου, Θεοχαρίτωτε, τῇ δεξιᾷ οὖν τῇ Σῇ, Ἁγνὴ ἀλλοιῶσαί μου, τὸν νοῦν ἱκέτευε, πρὸς μετάνοιαν, δεινῶς περιπλεκόμενον, ταῖς τοῦ βίου πραγματείαις.

**Καταβασία·** Ἰταμῷ Θυμῷ τε καὶ πυρὶ ...

## Ὠδὴ η΄.

**Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.**

***Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. (Δίς).***

Ῥήμασιν εἴχοντο τῆς θείας, κιβωτοῦ τοῦ Ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν θεολόγων ἐν τῇ Σιών· Ποῦ νῦν ἀπαίρεις σκηνὴ κραυγάζοντες, Θεοῦ τοῦ ζῶντος; Μὴ διαλίπῃς ἐποπτεύουσα, τοὺς πίστει μέλποντας· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ Πανάμωμος, χεῖρας τὰς Θεὸν ἠγκαλισμένας, σωματικῶς ἐν παῤῥησίᾳ, ὡς Μήτηρ ἔφησε πρὸς τὸν τεχθέντα· Οὓς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Τοῦ Ὁσίου.** ***Ἑπταπλασίως κάμινον.***

**Μ**εμολυσμένον πάθεσι, τὴν καρδίαν μακάριε, τῇ σῇ μεσιτείᾳ, καθαρόν με ποίησον, θερμὸν δὲ τὴν ἔφεσιν, οὐρανοβάμονα τὴν ψυχήν, πάντων μου κακῶν, τῶν παλαιῶν λησμονοῦντα, καὶ πράξεις μετανοίας, ἀξίους σωτηρίας, ἐμμελετᾶν καὶ πράττειν, τῇ θείᾳ σου πρεσβείᾳ.

**Ἡ** καρτερά σου ἔνστασις, τὸ στεῤῥόν τε σου φρόνημα, τῶν σε πολεμούντων, τὴν ὁρμὴν ἐμάρανε, οὐκ ἔκαμψας γόνυ γάρ, συμπεδηθῆναι δουλοπρεπῶς, ταῖς ἐκ τοῦ ἐχθροῦ, ποικιλομόρφοις παγίσι, δι᾽ ὧν τοὺς ἀμελοῦντας, εἰς τὴν γέενναν πέμπει, χωρίζει τοῦ Δεσπότου, στερῶν τῆς σωτηρίας.

**Ν**ενεκρωμένον φρόνημα, τῇ σπουδῇ σου ἀπέκτησας, ταῖς πρὸς τὸν Δεσπότην, ἐπαγρύπνοις στάσεσιν· διό σε ἠξίωσε, θεογνωσίᾳ θεολογεῖν. Ὧ ἀκαταπαύστως, σὺν πιστοῖς ἐμελῴδεις, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

**Ἴ**ασαι μόνη σῴζουσα, τὸν ἀχρεῖον ἱκέτην σου, ταῖς πρὸς τὸν Υἱόν σου, μητρικαῖς δεήσεσι, τὴν ζάλην κατεύνασον, τῶν λογισμῶν μου τῶν πονηρῶν, καὶ ἁμαρτιῶν, τὸ χειρόγραφον ῥῆξον· ἐξάρπασον γεέννης, καὶ σκότους ἐξωτέρου, τὸν σὸν ἀχρεῖον δοῦλον, ἐν ὥρᾳ με τῆς δίκης.

**Ἕτερος τοῦ Ὁσίου·** ***Παῖδας εὐαγεῖς.***

**Δ**έχου ἱκεσίαν τε καὶ ὕμνον, ἡμῶν εὐφημούντων σε Πατήρ ἡμῶν, πάντων τῶν φοιτώντων σοι, πάλαι τε καὶ νῦν ὁμοῦ, τῷ πόθῳ προσφερόμενον, καὶ ὡς ἀντίδοσιν, τῶν λόγων σου, τὸ πλήρωμα δίδου, εὐχαῖς σου σωτηρίαν, τοῖς τέκνοις σου παράσχου.

**Ἔ**φερες γενναίως τοῖς σοῖς ὤμοις, Σταυρὸν τοῦ Κυρίου πειραζόμενος, ἐκ τῶν ἀγνοούντων σου, βίον τὸν θεόφρονα, καὶ Χάριν σοὶ ὡς ἔπαθλον, Αὐτὴ χαρίζεται, τοῦ Ὄρους ἡ Προστάτις καὶ Μήτηρ, Ἧς τῇ θεωρίᾳ πολλάκις ἐνετρύφας.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.*

**Χ**αίρεις ἐκ τῶν πόνων σου θερίζων, οὓς κλαίων ἐν τῇ πορείᾳ σου κατέβαλλες, καὶ ἀγαλλιώμενος, αἴρεις σου τὰ δράγματα· νῦν τῶν πι-

στῶς τιμώντων σου, τὴν μνήμην μέμνησο, καὶ ῥύου τῶν δεινῶν συμπτωμάτων, καὶ ἐπεμβαινόντων δαιμόνων τῆς μανίας.

*Καὶ νῦν ...* **Θεοτοκίον.**

Ὄρος οἱ Προφῆται Σὲ Παρθένε, ὁ Λίθος ἐξ οὗ ἐτμήθη προκατήγγειλαν, τέτοκας γὰρ Ἄναρχον, Λόγον τοῦ Γεννήτορος, Ἐμμανουὴλ καλούμενον, ᾧ καὶ κραυγάζομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία·**

*Αἰνοῦμεν εὐλογοῦμεν ...*

Φλόγα δροσίζουσαν Ὁσίους ...

**Ὠδὴ θ΄.**

**Τῆς Ἑορτῆς. Ὁ Εἱρμός.**

***Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.*** ***(Δίς).***

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· Δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον Σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· εἰς οὐρανίους θαλάμους, πρὸς τὸ Υἱὸν ἐκφοιτῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

**Τοῦ Ὁσίου.** ***Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.***

Ὠδαῖς σοι Πάτερ ᾄδω καὶ προσκυνῶ, καὶ τιμῶ καὶ γεραίρω τὴν μνήμην σου, τὴν ἱεράν, πάλαι μεμνημένος σου τὴν στοργήν· ἀνθ’ ὧν σε παρεπίκρανα, οἴκτειρόν μὲ Πάτερ παρακαλῶ, μετάδος τε συγγνώμην, καὶ σῶσον ταῖς εὐχαῖς σου, ὡς ὑπισχνεῖσο μοι ἀείποτε.

Σεμνύνεται Παρθένου Ὄρος σεπτόν, καὶ βοᾷ γηθοσύνως καὶ τέρπεται, ὅτι ἰδού, ηὔγασεν ἀστέρα φωτολαμπῆ, ἐν τοῖς ἐσχάτοις ἔτεσι,

παύοντα ἀπίστων ἰσχυρισμόν, δεικνῦντα ὅτι μένει, Χριστὸς εἰς τοὺς αἰῶνας, ἐπιβραβεύων τοὺς πιστεύοντας.

Ἡ πύλη ἠνεῴχθη σοι οὐρανῶν, καὶ τῆς δόξης ἣν πρώην τεθέασαι, κατατρυφᾷς, σὺν χοροστασίαις τῶν ἐκλεκτῶν. Σὺν τούτοις οὖν μνημόνευε, καὶ ἡμῶν τῶν πόθῳ σοῦ τὴν σεπτήν, τιμώντων θείαν μνήμην, καὶ ῥῦσαι τῶν ποικίλων, ἐπαγωγῶν καὶ περιστάσεων.

**Θεοτοκίον.**

Φωτί σου καταλάμπρυνόν μου τὸν νοῦν· καὶ τὸ σῶμα ψυχήν τε ἀπάλλαξον, τῶν ἐμπαθῶν, πράξεων καὶ φαύλων μου ἐννοιῶν· πρὸς δὲ θερμῆς προθέσεως, καταξίωσόν με τὰς ἀρετάς, ἐργάζεσθαι Παρθένε, ὅπως σωθεὶς ὑμνῶ σε, τῆς σωτηρίας μου τὴν πρόξενον.

**Ἕτερος τοῦ Ὁσίου· *Ἅπας γηγενής.***

Ὕψει νοητῷ, τὸν νοῦν σου τῆς χάριτος, ἀκτῖνες ἥρπασαν· ὅθεν σὺ ἑώρακας, ἀΰλων νόων χοροὺς γεραίροντας, ὕμνοις φαιδροῖς καὶ πρέπουσι τὴν Θεομήτορα, σὲ καλοῦσαν, ἔχειν τὴν ἐλπίδα σου, πρὸς Αὐτὴν Θεοφόρε Πατὴρ ἡμῶν.

Ἴσχυσας Θεῷ, τὸν νοῦν ἀμετέωρον, κρατεῖν ἀρέμβαστον, μόνος ἀγρυπνῶν Αὐτῷ, καὶ φλέγειν πάθη σαρκὸς καὶ δαίμονας, θανατηφόρους Ὅσιε αὐτῶν τε πάγας περᾶν, καὶ Πατέρων, τρόπαια ἀνύψωσας· ὅθεν μνείαν ποιοῦ τῶν τιμώντων σε.

Ὥσπερ οὐρανός, τὰ ὄρη καὶ σπήλαια, σοὶ ἐγενήθησαν, ὅθεν καὶ ἐπώνυμος, τοῦ Σπηλαιώτου κλῆσις ἐδόθη σοι· ἀκτημοσύνην ἄκραν γὰρ περιδραξάμενος, τῶν δακρύων ὄμβροις σου κατήρδευσας, τὰ σὰ τέκνα φυέντα τοῖς πόνοις σου.

Σύντομον εὑρών, ὁδὸν τὴν ταπείνωσιν, πιστῶς ἐβάδισας, καὶ κατηκολούθησας, Πατέρων βίοις ὅση σοι δύναμις, καὶ τὰ αὐτῶν ἀντέγραψας, θεῖα παθήματα· ἀπολαύεις, ὅθεν νῦν τὰ ἔπαθλα, εὐλογῶν καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Ἤδη πρὸς αὐτά, τὰ θεῖα σκηνώματα, Πάτερ γενόμενος, δόξης τε λαβόμενος τῆς ἀϊδίου καὶ ταῖς μεθέξεσι, ταῖς ἱεραῖς θεούμενος, μέμνησο πάντων ἡμῶν, τῶν τιμώντων, πίστει τὴν ὁσίαν σου, τελευτὴν Ἰωσὴφ παμμακάριστε.

**Θεοτοκίον.**

Φώτισον Ἁγνή, τοὺς πόθῳ ὑμνοῦντάς Σε, καὶ μεγαλύνοντας· λῦσον τῶν παθῶν ἡμῶν, τὸ σκότος Κόρη· παῦσον τὸν κλύδωνα· τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον· τοὺς τῆς πλάνης λογισμοὺς ἀπέλασον, τῶν σῶν δούλων ταῖς θείαις πρεσβείαις Σου.

**Καταβασία·**

*Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.*

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε Ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

**Ἐξαποστειλάριον τοῦ Ὁσίου.**

**Ἦχος β΄. *Τοῖς Μαθηταῖς συνέλθωμεν.***

Χαρμονικῶς τελοῦμέν σου, τὰ μνημόσυνα Πάτερ, καὶ πίστει ἀτενίζομεν, τὴν ὁσίαν μορφήν σου, αἰτοῦντές σε εὑρεθῆναι, ὡς ὑπέσχου σοῖς τέκνοις, προστάτην τε καὶ πρόμαχον, ἕως τέλους τοῦ βίου, ὅπως Θεῷ, εὐαρέστως ζήσωμεν καὶ φανῶμεν, τοῖς δεξιοῖς ἱστάμενοι, σὺν χοροῖς σῳζομένων.

**Ἕτερον·**

**Ἦχος γ΄. *Ὁ οὐρανὸν τοῖς ἄστροις.***

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, χοροβατῶν, ὦ Ἰωσήφ, σὺν τοῖς χοροῖς τῶν Ὁσίων, καὶ τῶν Ἀγγέλων στρατιαῖς, ὑπὲρ ἡμῶν τὴν Τριάδα, τῶν σὲ τιμώντων δυσώπει.

**Καὶ τὸ τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.**

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῆ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄. *Ὡς γενναῖον ἐν μάρτυσι.***

**Π**ατρικαῖς παραινέσεσι, καὶ στοργῇ τοὺς φοιτῶντάς σοι, παρηγόρεις πάντοτε ἀνεχόμενος, τὰ τούτων λάθη καὶ σφάλματα· τῷ φόβῳ Κυρίου δὲ τὴν διάνοιαν αὐτῶν, ἐστερέους καὶ ηὔθυνες, πρὸς τὸν ἔρωτα, καὶ τὸν ἔνθεον πόθον ταῖς σοφαῖς σου, διδαχαῖς καὶ ὑποθήκαις, ἐπαγρυπνῶν καὶ εὐχόμενος.

**Ν**υσταγμὸν τοῖς βλεφάροις σου, οὐδὲ ὕπνον σοῖς ὄμμασι, τὸ καθόλου δέδωκας Πάτερ Ὅσιε, ἀλλ᾽ ἀγρυπνῶν διετέλεσας, τῷ βίῳ στενούμενος ἐν πτωχείᾳ περισσῇ, μὴ ποθήσας τὴν πρόσκτησιν, τῶν συλούντων σου, τὴν διάνοιαν ἅμα καὶ καρδίαν, ἐκ τῆς μνήμης τοῦ Κυρίου, καὶ τῆς φρικτῆς κατακρίσεως.

**Τ**ῇ πολλῇ κατανύξει σου, προσευχῇ καὶ ἀγάπῃ τε, πρὸς Θεὸν Πατὴρ ἡμῶν καὶ πλησίον σου, τῇ σῇ καρδίᾳ ἐνῴκησε, ἡ Χάρις ἡ ἔνθεος, ἀνυψοῦσά σου τὸν νοῦν, πρὸς τὰ κρείττω καὶ μένοντα, καὶ παράκλησις, ἰσχυρά σοι ἐγένετο φρουροῦσα, καὶ ποικίλως στερεοῦσα, κατὰ ἐχθρῶν πολεμούντων σε.

**Ἐ**γκρατείᾳ στενούμενος, καὶ ἐρήμοις πλανώμενος, σιωπῶν ἐτέλεσας καὶ εὐχόμενος, τοῖς τῶν ἀνθρώπων συστήμασι, μηδόλως τρεπόμενος, μηδὲ φέρων κατὰ νοῦν, τὰς πικρὰς κρίσεις Ὅσιε, δι᾽ ὧν ἄπειροι, πλανηθέντα ἐκάλουν, ἀγνοοῦντες, τὸν φιλόθεόν σου βίον, καὶ τὰ κρυπτὰ τῆς καρδίας σου.

**Δόξα. Ἦχος πλ. β΄.**

Ὁσίων δῆμοι τὸ Πνεῦμά σου ἐδέξαντο, Ἰωσὴφ Πάτερ ἡμῶν, μοναστῶν δὲ συστήματα ηὔφρανας, τῇ σεμνῇ σου πολιτείᾳ, Θεῷ γενόμενος τίμιος· τοῦ γὰρ τῷ φόβῳ στοιχειούμενος, εὐχερῶς ἀπέστης πάντων τῶν θολούντων τὸν νοῦν, καὶ ἐντρυφῶν τῇ μονώσει, τῶν καρπῶν τοῦ Πνεύματος ἐγεύσω, καὶ τὰς αὐλὰς τοῦ Κυρίου, ἔνθα αἱ πολλαὶ μοναὶ ἐναπόκεινται, καὶ τῶν σεσωσμένων ἀγάλλονται οἱ δῆμοι, κατέμαθες ἁρπαγεὶς τῇ θεωρίᾳ. Νῦν δὲ τούτοις κατατρυφῶν, καὶ ἡμῶν μνημόνευε ταῖς εὐχαῖς σου, ὡς ἔχων παῤῥησίαν, Πάτερ ἱλαρώτατε.

**Καὶ νῦν. Μεθέορτον τῆς Κοιμήσεως.**
**Ἦχος ὁ αὐτός.**

Τῇ ἀθανάτῳ σου Κοιμήσει σου, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν, τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριὴλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε Κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ᾽ ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία Μεγάλη· μεθ᾽ ἣν τὸ Ἀπολυτίκιον τοῦ Ὁσίου.**
**Καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικὰ καὶ εἰς τοὺς Μακαρισμοὺς ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς ἡ α΄ ᾠδή· ἐκ δὲ τῶν δύο Κανόνων τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ ς΄ ᾠδὴ ἀντιστοίχως.**

**Τῆς Ἑορτῆς. Ὠδὴ α΄.**
**Ἦχος α΄. Ὁ Εἱρμός, (ψάλλεται).**

***Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας, Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται. (Δίς).***

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου· ἄφνω δὲ συῤῥεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην· μεθ᾽ ὧν Ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἤρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

**Τοῦ Ὁσίου. Ὠδὴ γ΄.**
***Ἦχος πλ. δ΄. Ο στερεώσας κατ᾽ ἀρχάς.***

Φωτὸς ἀΰλου τὰς αὐγάς, τῇ σῇ ψυχῇ δεδεγμένος, φωτεινὸς σὺ ἐχρημάτισας ὅλως, καὶ τοῦ σκότους τὰς ἀρχάς, τῇ χάριτι κατέβαλες, καὶ στεφηφόρος ὤφθης, ἐν τοῖς ὁσίων σκηνώμασι.

Ὁρμὰς δαιμόνων προσευχῇ, καὶ ἀγρυπνίᾳ συντόνῳ, ἀπεσόβεις ἀπὸ σοῦ Πάτερ ψάλλων, νικητήρια Χριστῷ, τῷ σὲ ἀμφοῖν λυτρώσαντι, παθῶν καὶ πάσης πλάνης, καὶ νικητὴν ἀναδείξαντι.

Νηστείαις Πάτερ καρτερῶν, καὶ ἀγρυπνῶν διετέλεις, κατὰ μόνας τῷ Θεῷ διατρίβων, Ὃς τοῦ κόπου σου ἰδών, τὸν πόθον σὲ ἀντήμειψεν, χειρὶ θείου Ἀγγέλου, πέμψας σοι ἄρτον οὐράνιον.

**Θεοτοκίον.**

Σὲ μεσιτείαν πρὸς Χριστόν, προβάλλομεν Θεοτόκε, ἐν τῇ ὥρᾳ τῆς φρικτῆς καταδίκης, ἵνα ῥύσῃ τῆς ποινῆς, καὶ δεξιὰν παράστασιν, παράσχῃς τοῖς ἀχρείοις, τῇ Μητρικῇ παῤῥησίᾳ σου.

**Ἕτερος τοῦ Ὁσίου· Ὠδὴ ϛ΄.**

***Ἦχος δ΄. Τὴν θείαν ταύτην*.**

Ἑστῶτι Πάτερ καὶ ψάλλοντι, τῇ θείᾳ κορυφῇ τῇ τοῦ Ἄθωνος, τοῦ ναϊδρίου ἐντός, μῆλά σοι τρία κεχάρισται, προνοίᾳ θείᾳ ὅλως τῆς Θεομήτορος.

Καλῶς στοιχῶν τῷ κανόνι σου, ἐγκλείστως καρτερῶν καὶ δεόμενος, τοῦ Θείου Σώματος, μεταλαβεῖν κατηξίωσαι, θείου Ἀγγέλου Πάτερ διακονήσαντος.

Ὁράσει Πάτερ τὸ πρότερον, τὴν δόξαν τῶν δικαίων τεθέασαι, νῦν δὲ πρὸς πρόσωπον· ὧν τοῖς χοροῖς συνταττόμενος, τῶν πόνων σου τὰ γέρα τρυγᾷς μακάριε.

**Θεοτοκίον.**

Πολλοῖς Παρθένε κυκλούμενοι, κινδύνοις καὶ κακῶν ἐπιτάσεσι, τοῦ πολεμήτορος, τῇ σῇ προνοίᾳ προσφεύγομεν, τῆς μάνδρας σου ἀξίους ἡμᾶς ἀνάδειξον.

**Ἀπόστολον καὶ Εὐαγγέλιον Ὁσιακά·**
***(ζήτει τῇ ε΄ Δεκεμβρίου).***

**Κοινωνικόν·** Εἰς μνημόσυνον αἰώνιον, ἔσται δίκαιος.

**Μεγαλυνάριον.**

Κλέος τὸ τοῦ Ἄθωνος Ἰωσήφ, γνώμων καὶ ἀκρότης τῶν τελείων ἡσυχαστῶν, χαίροις Παλαμείου τῆς χάριτος ὁ μύστης, ἀκτίστῳ ἐνεργείᾳ πάντας καταύγασον.

**Δίστιχον:**

*ΜΝΗΣΘΗΤΙ ΠΑΤΕΡ ΜΟΥ ΣΑΙΣ ΜΕΣΙΤΕΙΑΙΣ*

*ΙΩΣΗΦ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ ΣΟΥΣ ΕΠΑΙΝΟΥΣ*

++++ ++++ ++++ ++++ ++++ ++++ ++++

Συνετέθη ἐν Ἁγίῳ Ὄρει, μηνὶ Αὐγούστῳ τοῦ 1968.